Ακαδημία Αθηνών / Academy of Athens

**ἀναμφισβήτητος.** Ἀναμφισβήτητος, indisputable, Διογένης 1 *τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι.*

**ἄναξ.** Κύριος/ἄρχοντας, lord/master, Ἡράκλειτος 93 *ὁ ἄναξ οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς* Ἐμπεδοκλῆς 47 *ἀθρεῖ μὲν γὰρ ἄνακτος ἐναντίον ἁγέα κύκλον.*

**ἀνάξιος** (ἀντίθ. *ἄξιος*). Ἀνάξιος, unworthy, Δημόκριτος 254 *ἀνάξιοι ἐόντες.*

**ἀναπαύεσθαι.** Ἀναπαύομαι, rest, Ἡράκλειτος 20 *μᾶλλον δὲ ἀναπαύεσθαι* 84a *μεταβάλλον ἀναπαύεται.*

**ἀνάπαυσις** (ἀντίθ. *κάματος*). Ἀνάπαυση, rest, Ἡράκλειτος 111 *νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν ... κάματος ἀνάπαυσιν.*

**ἀναπέμπειν.** Στέλνω πρὸς τὰ ἐπάνω, send up, Ἐμπεδοκλῆς 62.6 *τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι.*

**ἀναπεταννύναι.** Ἀνοίγω διάπλατα, open wide, Παρμενίδης 1 *ἀναπτάμεναι πολυχάλκους ἄξονας.*

**ἀναπνεῖν 1** (ἀντίθ. *ἐκπνεῖν*). Εἰσπνέω, inhale, Ἐμπεδοκλῆς 100.1 *ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ* **2.** Ἀναπνέω, breathe, Διογένης 4 *ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι.*

**ἄναρχος** (ἀντίθ. *ἄπαυστος*). Δίχως ἀρχὴ/δίχως ἔναρξη, without beginning, Παρμενίδης 8.27 *αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν ἔστιν ἄναρχον ἄπαυστον, ἐπεὶ γένεσις καὶ ὄλεθρος τῆλε μάλ' ἐπλάχθησαν, ἀπῶσε δὲ πίστις ἀληθής.* Πρβλ. *ἀγένητος.*

**ἀναστροφά.** Ἐνασχόληση, occupation, Ἀρχύτας 1.10 *ταῦτα γὰρ τὰ μαθήματα ... περὶ ... τὰ τῶ ὄντος πρώτιστα δύο εἴδεα τὰν ἀναστροφὰν ἔχει.* Πρβλ. *ἔχειν ἀναστροφάν.*

**ἀνατείνειν.** Ὑψώνω, raise, Δημόκριτος 30 *τῶν λογίων ἀνθρώπων ὀλίγοι ἀνατείναντες τὰς χεῖρας.* Πρβλ. *ἐκτείνειν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ